κοπαθείας ἐκοινοπράγησας, τοῦ Ἰσαὰκ πρὸς τὰ δοκοῦντα τῷ πατρὶ τὴν ὑπακοὴν μιμησάμενος. καὶ πῶς νῦν ἐμόνωσέ σε ἡ τελευταία συμφορὰ καὶ μόνος ἀντλεῖς τὰ τῆς αἰχμαλωσίας κακά; ἵνα τί φιλανθρωπευθεὶς τὴν πεῖραν τοῦ ξίφους διέφυγον; ἵνα τί μὴ κἀμὲ προσέθηκε τοῖς ἄλλοις νεκροῖς ἡ φονία δεξιά, ἀλλὰ φειδοῦς ἔτυχον ἐπὶ πεῖραν μειζόνων κακῶν, συντόμου φθονηθεὶς ἀπαλλαγῆς καὶ μακρὸν ἐπὶ σοὶ καὶ ὀδυνηρὸν πένθος καρπούμενος;

Ἐπεὶ δὲ συμπαθεῖς ὑμᾶς᾿ ἔφην ʽὁρῶ καὶ οὐκ ἄλλως διακειμένους ἢ ὡς 10
αὐτὸς ὁ παθών – τούτου γάρ μοι τεκμήριον γέγονε τὸ συντεταμένον τῆς ἀκοῆς καὶ αἱ συνεχεῖς οἰμωγαί –, πάντα κατὰ μέρος τὰ ἐμὰ ὡς ἔχει διεξελεύσομαι, οὐ μακρηγορῶν, εἰ σχολὴν πρὸς τὴν ἀκρόασιν ἄγετε καὶ μή τις ὑμᾶς ἀνάγκη πρὸς οἰκείαν χρείαν καλεῖ. βαρὺ γὰρ διήγησις περισπωμένῃ ψυχῇ μᾶλλον τῆς ἀκροάσεως, ἐχούσῃ τὸν λογισμὸν πρὸς τὸ μεριμνώμενον.᾿

Οἱ δὲ καὶ ὄψει καὶ φωνῇ τὸ πρὸς τὴν ἐρώτησιν ἐνδειξάμενοι ἀηδές, ʽκαὶ 11
τίς᾿ ἔφασαν ʽἄλλη σχολὴ προτιμοτέρα τοῦ θεραπεῦσαι ἀνιωμένην καρδίαν καὶ κενῶσαι λύπην ὀδυνωμένης ψυχῆς; ὡς γὰρ νέφος ἀποτίθεται ζόφον, ἀποστάζον ὀμβρίους σταγόνας, καὶ κατ᾿ ὀλίγον καθαίρεται τοῦ γνόφου, κενούμενον τῆς τοῦ ὕδατος ἀχλύος, οὕτως κουφίζεται τῆς ἀθυμίας ψυχή, τὰς οἰκείας τραγῳδοῦσα συμφοράς, τῇ διηγήσει τῶν λυπηρῶν συνεκκενουμένης ὥσπερ τῆς ἀηδίας. πλήττειν γὰρ οἶδε σιωπώμενον πάθος ὡς ἂν ὑγρὸν φλεγμαίνοντος τραύματος, ὑποσφύζοντος ἀεὶ τοῦ πύου καὶ ὁδὸν οὐκ ἔχοντος ὅθεν κενωθῇ προελθόν.᾿ ἔδοξαν οὖν εἰκότα λέγειν, κἀγὼ τῆς ἀπαγγελίας ἄρχομαι ὧδε.

ʽἘμοὶ παῖδες, ὦ φίλοι, γεγένηνται δύο, οὗτος ὃν νῦν κάθημαι θρηνῶν, 2
καὶ ἕτερος ὁ παρὰ τῇ μητρὶ καταμείνας, καὶ ἐπὶ τούτοις τὴν πρὸς τὴν γαμετὴν κατέλυσα ὁμιλίαν, εἴτε πρὸς διαδοχὴν τοῦ γένους εἴτε πρὸς θερα-